λημ, τοῖς κατοικοῦσι Βαιτυλουα καὶ Βαιτομεσθαιμ, ἥ ἐστιν ἀπέναντι
Εσδρηλων κατὰ πρόσωπον τοῦ πεδίου τοῦ πλησίον Δωθαϊμ, [7]λέγων 7
διακατασχεῖν τὰς ἀναβάσεις τῆς ὀρεινῆς, ὅτι δι᾽ αὐτῶν ἦν ἡ εἴσ-
οδος εἰς τὴν Ιουδαίαν, καὶ ἦν εὐχερῶς διακωλῦσαι αὐτοὺς προσβαί-
νοντας στενῆς τῆς προσβάσεως οὔσης ἐπ᾽ ἄνδρας τοὺς πάντας δύο.
[8]καὶ ἐποίησαν οἱ υἱοὶ Ισραηλ καθὰ συνέταξεν αὐτοῖς Ιωακιμ ὁ ἱε- 8
ρεὺς ὁ μέγας καὶ ἡ γερουσία παντὸς δήμου Ισραηλ, οἳ ἐκάθηντο
ἐν Ιερουσαλημ. — [9]καὶ ἀνεβόησαν πᾶς ἀνὴρ Ισραηλ πρὸς τὸν θεὸν 9
ἐν ἐκτενείᾳ μεγάλῃ καὶ ἐταπείνωσαν τὰς ψυχὰς αὐτῶν ἐν ἐκτενείᾳ
μεγάλῃ. [10]αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ νήπια αὐτῶν καὶ τὰ 10
κτήνη αὐτῶν καὶ πᾶς πάροικος καὶ μισθωτὸς καὶ ἀργυρώνητος αὐ-
τῶν ἐπέθεντο σάκκους ἐπὶ τὰς ὀσφύας αὐτῶν. [11]καὶ πᾶς ἀνὴρ Ισ- 11
ραηλ καὶ γυνὴ καὶ τὰ παιδία οἱ κατοικοῦντες ἐν Ιερουσαλημ ἔπεσον
κατὰ πρόσωπον τοῦ ναοῦ καὶ ἐσποδώσαντο τὰς κεφαλὰς αὐτῶν
καὶ ἐξέτειναν τοὺς σάκκους αὐτῶν κατὰ πρόσωπον κυρίου· [12]καὶ τὸ 12
θυσιαστήριον σάκκῳ περιέβαλον καὶ ἐβόησαν πρὸς τὸν θεὸν Ισραηλ
ὁμοθυμαδὸν ἐκτενῶς τοῦ μὴ δοῦναι εἰς διαρπαγὴν τὰ νήπια αὐτῶν
καὶ τὰς γυναῖκας εἰς προνομὴν καὶ τὰς πόλεις τῆς κληρονομίας αὐ-
τῶν εἰς ἀφανισμὸν καὶ τὰ ἅγια εἰς βεβήλωσιν καὶ ὀνειδισμὸν ἐπί-
χαρμα τοῖς ἔθνεσιν. [13]καὶ εἰσήκουσεν κύριος τῆς φωνῆς αὐτῶν καὶ 13
εἰσεῖδεν τὴν θλῖψιν αὐτῶν· καὶ ἦν ὁ λαὸς νηστεύων ἡμέρας πλεί-
ους ἐν πάσῃ τῇ Ιουδαίᾳ καὶ Ιερουσαλημ κατὰ πρόσωπον τῶν ἁγίων
κυρίου παντοκράτορος. [14]καὶ Ιωακιμ ὁ ἱερεὺς ὁ μέγας καὶ πάντες 14
οἱ παρεστηκότες ἐνώπιον κυρίου ἱερεῖς καὶ οἱ λειτουργοῦντες κυρίῳ
σάκκους περιεζωσμένοι τὰς ὀσφύας αὐτῶν προσέφερον τὴν ὁλοκαύ-
τωσιν τοῦ ἐνδελεχισμοῦ καὶ τὰς εὐχὰς καὶ τὰ ἑκούσια δόματα τοῦ
λαοῦ, [15]καὶ ἦν σποδὸς ἐπὶ τὰς κιδάρεις αὐτῶν, καὶ ἐβόων πρὸς 15
κύριον ἐκ πάσης δυνάμεως εἰς ἀγαθὸν ἐπισκέψασθαι πᾶν οἶκον
Ισραηλ.

6 βαι(uel βε)τυλουα: sic A ubique, B fere ubique; S fere ubique βαιτουλουα et sic B in 4 6; S† in 4 6 βαιτουλια et sic uel simillime *L*† ubique; cf. 2 21 | και ult. — fin.] nihil nisi κατα προσωπον δωθαειμ S† | εσδρηλων Ra.] δ > B$^{(†)}$, ε pro δ A†: cf. 1 8 || 7 η εισοδος] οδος S† | αυτους προσβαινοντας] τους προβ. S†, τους αναβ. 58† | της ult. > S† | προσβασεως] αναβ. S* 58†, διαβ. AS$^c$ | τους παντας > S || 8 ιωακιμ > S† | δημου] λαου A† || 9 ανεβοησαν] εβοησαν S†: cf. 12 7 23 | εταπ(ε)ινουσαν B*A | εν εκτεν. μεγ. ult.] > S; νηστια μεγαλη S$^c$: sim. 58 *L* || 10 και μισθ.] η μ. B† | αυτων paenult.] και S 58†, + και *L*† || 11 τα > B$^{(†)}$ | οι κατοικ. εν ιερ.] > S*†, pr. και A | επεσον] -σαν S, επεθεντο A† || 12 περιεβαλλον B*† | εβοησαν] pr. αν S: cf. 9 | εκτενως > S† | γυναικας] + αυτων S | αυτων ult. > S*† || 13 εισειδεν] εσειδεν B*†, ως ειδεν B$^c$†, εισ > *L*S$^c$ | τη ιουδαια] γη ιουδα S† | ιερουσ.] pr. οι εν S†, + επεσον S†, + και επεσον 58† | παντοκρατ.] pr. του A† || 14 ο μεγας > S*† | ιερεις — κυριω > S† | και 3$^0$ > A† | σακκους περιεζ.] tr. S† | προσφεροντες S† | και paenult. — fin. > S† || 15 παν] παντα S: cf. Iud. 7 4 B